Il.23.484 δεύεαι Ἀργείων.,, ὅτι τοι νόος ἐστὶν ἀπηνής··.
Il.23.485 δεῦρό νυν ἢ τρίποδος περιδώμεθον, ἠὲ λέβητος.·,
Il.23.486 ἴστορα δ’ Ἀτρεΐδην Ἀγαμέμνονα θείομεν ἄμφω,
Il.23.487 ὁππότεραι πρόσθ’ ἵπποι·., ἵνα γνοίῃς ἀποτῑ́νων··.
Il.23.488 ὣς ἔφατ’.·, ὤρνυτο δ’ αὐτίκ’ Ὀϊλῆος ταχὺς Αἴᾱς
Il.23.489 χωόμενος., χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσι···
Il.23.490 καί νύ κε δὴ προτέρω ἔτ’ ἔρις γένετ’ ἀμφοτέροισιν..,

Il.23.491 εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ φάτο μῦθον···
Il.23.492 μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν
Il.23.493 Αἶα̲ν Ἰδομενεῦ τε κακοῖς.., ἐπεὶ οὐδὲ ἔοικε··.
Il.23.494 καὶ δ᾽ ἄλλῳ νεμεσᾶτον, ὅτις τοιαῦτά γε ῥέζοι··.
Il.23.495 ἀλλ᾽ ὑ̆μεῖς ἐν ἀγῶνι καθήμενοι, εἰσοράασθε
Il.23.496 ἵππους.· οἳ δὲ τάχ᾽ αὐτοὶ ἐπειγόμενοι περὶ νῑ́κης
Il.23.497 ἐνθάδ᾽ ἐλεύσονται.·· τότε δὲ γνώσεσθε ἕκαστος
Il.23.498 ἵππους Ἀργείων,·, οἳ δεύτεροι, οἵ τε πάροιθεν··.
Il.23.499 ὣς φάτο.·, Τῡδεΐδης δὲ μάλα σχεδὸν ἦλθε διώκων·,
Il.23.500 μάστῑ δ᾽ αἰὲν ἔλαυνε κατωμαδόν··· οἳ δέ, οἱ, ἵπποι
Il.23.501 ὑψόσ᾽ ἀειρέσθην. ῥίμφα πρήσσοντε κέλευθον··.
Il.23.502 αἰεὶ δ᾽ ἡνίοχον. κονίης ῥαθάμιγγες ἔβαλλον·,
Il.23.503 ἅρματα δὲ χρῡσῷ πεπυκασμένα κασσιτέρῳ τε·
Il.23.504 ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον.·· οὐδέ τι πολλὴ
Il.23.505 γί̆νετ᾽ ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν
Il.23.506 ἐν λεπτῇ κονίῃ··· τὼ δὲ σπεύδοντε πετέσθην··.
Il.23.507 στῆ δὲ μέσῳ ἐν ἀγῶνι.., πολὺς δ᾽ ἀνεκήκιεν ἱδρὼς
Il.23.508 ἵππων. ἔκ τε λόφων, καὶ ἀπὸ στέρνοιο χαμᾶζε··.
Il.23.509 αὐτὸς δ᾽ ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,·,
Il.23.510 κλῖνε δ᾽ ἄρα μάστῑγα ποτὶ ζυγόν.·· οὐδὲ μάτησεν
Il.23.511 ἴφθῑμος Σθένελος.·, ἀλλ᾽ ἐσσυμένως λάβ᾽ ἄεθλον·,
Il.23.512 δῶκε δ᾽ ἄγειν ἑτάροισιν ὑπερθῡ́μοισι γυναῖκα.·
Il.23.513 καὶ τρίποδ᾽ ὠτώεντα φέρειν··· ὃ δ᾽ ἔλῡεν ὑφ᾽ ἵππους··.
Il.23.514 τῷ δ᾽ ἄρ᾽ ἐπ᾽ Ἀντίλοχος Νηλήϊος ἤλασεν ἵππους.·
Il.23.515 κέρδεσιν,, οὔ τι τάχει γε,, παραφθάμενος Μενέλᾱον···
Il.23.516 ἀλλὰ καὶ ὣς Μενέλᾱος ἔχ᾽ ἐγγύθεν ὠκέας ἵππους··.
Il.23.517 ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται.·, ὅς ῥα τ᾽ ἄνακτα
Il.23.518 ἕλκῃσιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφι.··
Il.23.519 τοῦ μέν τε, ψαύουσιν ἐπισσώτρου. τρίχες ἄκραι
Il.23.520 οὐραῖαι··· ὃ δέ τ᾽ ἄγχι μάλα τρέχει.·, οὐδέ τι πολλὴ
Il.23.521 χώρη μεσσηγὺς. πολέος πεδίοιο θέοντος.,·
Il.23.522 τόσσον δὴ Μενέλᾱος ἀμῡ́μονος Ἀντιλόχοιο
Il.23.523 λείπετ᾽.·· ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο··,
Il.23.524 ἀλλά μιν αἶψα κίχᾱνεν.·· ὀφέλλετο γὰρ μένος ἠΰ
Il.23.525 ἵππου τῆς Ἀγαμεμνονέης καλλίτριχος Αἴθης···
Il.23.526 εἰ δέ κ᾽ ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι.,,
Il.23.527 τώ κέν μιν παρέλασσ᾽,· οὐδ᾽ ἀμφήριστον ἔθηκεν··.
Il.23.528 αὐτὰρ Μηριόνης θεράπων ἐῢς Ἰδομενῆος.,

Il.23.529 λείπετ’ ἀγακλῆος Μενελάου. δουρὸς ἐρωήν···
Il.23.530 βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι.·,
Il.23.531 ἥκιστος δ’ ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ’ ἐν ἀγῶνι··.
Il.23.532 υἱὸς δ’ Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων··
Il.23.533 ἕλκων ἅρματα καλὰ,, ἐλαύνων πρόσσοθεν ἵππους··.
Il.23.534 τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς.·,
Il.23.535 στᾶς δ’ ἄρ’, ἐν Ἀργείοις. ἔπεα πτερόεντ’ ἀγόρευε···
Il.23.536 λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους:··
Il.23.537 ἀλλ’ ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικὲς
Il.23.538 δεύτερ’.·· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός··.
Il.23.539 ὣς ἔφαθ’,·, οἳ δ’ ἄρα πάντες ἐπῄνεον. ὡς ἐκέλευεν:·.
Il.23.540 καί νύ κέν οἱ πόρεν ἵππον., ἐπῄνησαν γὰρ Ἀχαιοί.,,
Il.23.541 εἰ μὴ ἄρ’ Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
Il.23.542 Πηλεΐδην Ἀχιλῆα, δίκῃ ἠμείψατ’ ἀναστάς;··
Il.23.543 ὦ Ἀχιλεῦ.· μάλα τοι κεχολώσομαι. αἴ κε τελέσσῃς
Il.23.544 τοῦτο ἔπος··· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον··
Il.23.545 τὰ φρονέων.· ὅτι, οἱ, βλάβεν ἅρματα, καὶ ταχέ’ ἵππω·
Il.23.546 αὐτός τ’ ἐσθλὸς ἐών··· ἀλλ’ ὤφελεν ἀθανάτοισιν
Il.23.547 εὔχεσθαι··· τό κεν οὔ τι πανύστατος ἦλθε διώκων··.
Il.23.548 εἰ δέ μιν οἰκτείρεις. καί τοι φίλος ἔπλετο θυμῷ.,
Il.23.549 ἔστί τοι ἐν κλισίῃ χρυσὸς πολύς.·, ἔστι δὲ χαλκὸς.
Il.23.550 καὶ πρόβατ’.·, εἰσὶ δέ τοι δμῳαὶ καὶ μώνυχες ἵπποι···
Il.23.551 τῶν, οἱ, ἔπειτ’ ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον.·
Il.23.552 ἠὲ καὶ αὐτίκα νῦν,·, ἵνα σ’ αἰνήσωσιν Ἀχαιοί··.
Il.23.553 τὴν δ’ ἐγὼ οὐ δώσω··· περὶ δ’ αὐτῆς πειρηθήτω.
Il.23.554 ἀνδρῶν, ὅς κ’ ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι··.
Il.23.555 ὣς φάτο··, μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς.
Il.23.556 χαίρων Ἀντιλόχῳ·,, ὅτι οἱ φίλος ἦεν ἑταῖρος···
Il.23.557 καί μιν ἀμειβόμενος. ἔπεα πτερόεντα προσηύδα···
Il.23.558 Ἀντίλοχ’.·, εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Il.23.559 Εὐμήλῳ ἐπιδοῦναι.,, ἐγὼ δέ κε καὶ τὸ, τελέσσω··.
Il.23.560 δώσω οἱ θώρηκα,, τὸν Ἀστεροπαῖον ἀπηύρων.,
Il.23.561 χάλκεον.·, ᾧ πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
Il.23.562 ἀμφιδεδίνηται.·· πολέος δέ οἱ ἄξιος ἔσται··.
Il.23.563 ἦ ῥα··, καὶ Αὐτομέδοντι φίλῳ· ἐκέλευσεν ἑταίρῳ
Il.23.564 οἰσέμεναι κλισίηθεν·· ὃ δ’ ᾤχετο καί οἱ ἔνεικεν··,
Il.23.565 Εὐμήλῳ δ’ ἐν χερσὶ τίθει· ὃ δὲ δέξατο χαίρων.
Il.23.566 τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο, θυμὸν ἀχεύων.·

Il.23.567 Ἀντιλόχῳ ἄμοτον κεχολωμένος··· ἐν δ’ ἄρα κῆρυξ
Il.23.568 χειρὶ σκῆπτρον ἔθηκε.·, σιωπῆσαί τ’ ἐκέλευσεν
Il.23.569 Ἀργείους.·· ὃ δ’ ἔπειτα μετηύδᾱ ἰσόθεος φώς···
Il.23.570 Ἀντίλοχε.· πρόσθεν πεπνῡμένε., ποῖον ἔρεξας··.
Il.23.571 ᾔσχῡνας μὲν ἐμὴν ἀρετήν,., βλάψᾱς δέ μοι ἵππους.·
Il.23.572 τοὺς σοὺς πρόσθε βαλών.., οἵ τοι πολὺ χείρονες ἦσαν··.
Il.23.573 ἀλλ’ ἄγετ’ Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
Il.23.574 ἐς μέσον ἀμφοτέροισι δικάσσατε,·, μηδ’ ἐπ’ ἀρωγῇ.·,
Il.23.575 μή ποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων.,·
Il.23.576 Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλᾱος·
Il.23.577 οἴχεται, ἵππον ἄγων., ὅτι, οἱ, πολὺ χείρονες ἦσαν
Il.23.578 ἵπποι.·, αὐτὸς δὲ κρείσσων ἀρετῇ τε βίῃ τε··.
Il.23.579 εἰ δ’ ἄγ’ ἐγὼν αὐτὸς δικάσω·, καί μ’ οὔ τινά φημι
Il.23.580 ἄλλον ἐπιπλήξειν Δαναῶν,·· ἰθεῖα γὰρ ἔσται··.
Il.23.581 Ἀντίλοχ’· εἰ δ’ ἄγε δεῦρο διοτρεφές,, ἣ θέμις ἐστί,
Il.23.582 στᾱ̀ς, ἵππων προπάροιθε καὶ ἅρματος.., αὐτὰρ ἱμάσθλην
Il.23.583 χερσὶν ἔχε ῥαδινήν., ᾗ περ τὸ πρόσθεν ἔλαυνες.,
Il.23.584 ἵππων ἁψάμενος.· γαιήοχον ἐννοσίγαιον
Il.23.585 ὄμνυθι.. μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι··.
Il.23.586 τὸν δ’ αὖτ’ Ἀντίλοχος πεπνῡμένος ἀντίον ηὔδᾱ···
Il.23.587 ἄνσχεο νῦν··· πολλὸν γὰρ ἔγωγε νεώτερός εἰμι
Il.23.588 σεῖο ἄναξ Μενέλᾱε.·, σὺ δὲ πρότερος καὶ ἀρείων··.
Il.23.589 οἶσθ’, οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι···
Il.23.590 κραιπνότερος μὲν γάρ τε νόος·,, λεπτὴ δέ τε μῆτις··.
Il.23.591 τώ τοι ἐπιτλήτω κραδίη.·· ἵππον δέ τοι αὐτὸς
Il.23.592 δώσω, τὴν ἀρόμην.·. εἰ καί νύ κεν οἴκοθεν ἄλλο
Il.23.593 μεῖζον ἐπαιτήσειας.,, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
Il.23.594 βουλοίμην.· ἢ σοί γε διοτρεφὲς ἤματα πάντα
Il.23.595 ἐκ θῡμοῦ πεσέειν·· καὶ δαίμοσιν εἶναι ἀλιτρός.
Il.23.596 ἦ ῥα· καὶ ἵππον ἄγων μεγαθῡ́μου Νέστορος υἱὸς··
Il.23.597 ἐν χείρεσσι τίθει Μενελᾱ́ου.·· τοῖο δὲ θῡμὸς
Il.23.598 ἰάνθη., ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση
Il.23.599 ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι···
Il.23.600 ὣς ἄρα σοὶ Μενέλᾱε μετὰ φρεσὶ θῡμὸς ἰάνθη··.
Il.23.601 καί μιν φωνήσᾱς, ἔπεα πτερόεντα προσηύδᾱ···
Il.23.602 Ἀντίλοχε,· νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς,
Il.23.603 χωόμενος.·, ἐπεὶ οὔ τι παρήορος οὐδ’ ἀεσίφρων
Il.23.604 ἦσθα πάρος·· νῦν αὖτε νόον νίκησε νεοίη··.

Il.23.605 δεύτερον αὖτ’ ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν··.
Il.23.606 οὐ γάρ κέν με τάχ’ ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν··.
Il.23.607 ἀλλὰ σὺ γὰρ δὴ πόλλ’ ἔπαθες καὶ πόλλ’ ἐμόγησας.·
Il.23.608 σός τε πατὴρ ἀγαθὸς. καὶ ἀδελφεὸς, εἵνεκ’ ἐμεῖο···
Il.23.609 τώ τοι λισσομένῳ ἐπιπείσομαι··, ἠδὲ καὶ ἵππον.
Il.23.610 δώσω ἐμήν περ ἐοῦσαν.·, ἵνα γνώωσι καὶ οἵδε.·
Il.23.611 ὡς ἐμὸς οὔ ποτε θῡμὸς ὑπερφίαλος καὶ ἀπηνής··.
Il.23.612 ἦ ῥα··, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
Il.23.613 ἵππον ἄγειν··· ὃ δ’ ἔπειτα λέβηθ’ ἕλε παμφανόωντα··.
Il.23.614 Μηριόνης δ’ ἀνάειρε δύω χρῡσοῖο τάλαντα
Il.23.615 τέτρατος,, ὡς ἔλασεν··. πέμπτον δ’ ὑπελείπετ’ ἄεθλον,
Il.23.616 ἀμφίθετος φιάλη.·· τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς
Il.23.617 Ἀργείων ἀν’ ἀγῶνα φέρων·, καὶ ἔειπε παραστᾱ́ς···
Il.23.618 τῆ νῦν·, καὶ σοὶ τοῦτο γέρον κειμήλιον ἔστω.
Il.23.619 Πατρόκλοιο τάφου μνῆμ’ ἔμμεναι··· οὐ γὰρ ἔτ’ αὐτὸν
Il.23.620 ὄψῃ ἐν Ἀργείοισι.·· δίδωμι δέ τοι τόδ’ ἄεθλον
Il.23.621 αὔτως··· οὐ γὰρ πύξ γε μαχήσεαι··, οὐδὲ παλαίσεις··,
Il.23.622 οὐδέ τ’ ἀκοντιστὺν ἐσδῡ́σεαι·, οὐδὲ πόδεσσι
Il.23.623 θεύσεαι.·· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει··.
Il.23.624 ὣς εἰπὼν. ἐν χερσὶ τίθει·· ὃ δ’ ἐδέξατο χαίρων.·,
Il.23.625 καί μιν φωνήσᾱς ἔπεα πτερόεντα προσηύδᾱ···
Il.23.626 ναὶ δὴ ταῦτά γε πάντα τέκος κατὰ μοῖραν.· ἔειπες·
Il.23.627 οὐ γὰρ ἔτ’ ἔμπεδα γυῖα φίλος,· πόδες.., οὐδέ τι χεῖρες
Il.23.628 ὤμων ἀμφοτέρωθεν ἐπᾱΐσσονται ἐλαφραί··.
Il.23.629 εἴθ’, ὣς, ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη·,
Il.23.630 ὡς ὁπότε κρείοντ’ Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
Il.23.631 Βουπρασίῳ.·, παῖδες δ’ ἔθεσαν βασιλῆος ἄεθλα.··
Il.23.632 ἔνθ’ οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ’.·, οὔτ’ ἄρ’ Ἐπειῶν.,
Il.23.633 οὔτ’ αὐτῶν Πυλίων.. οὔτ’ Αἰτωλῶν μεγαθῡ́μων··.
Il.23.634 πὺξ μὲν ἐνῑ́κησα Κλυτομήδεα Ἤνοπος υἱόν.·,
Il.23.635 Ἀγκαῖον δὲ πάλη Πλευρώνιον,., ὅς μοι ἀνέστη···
Il.23.636 Ἴφικλον δὲ πόδεσσι παρέδραμον, ἐσθλὸν ἐόντα··,
Il.23.637 δουρὶ δ’ ὑπειρέβαλον Φῡλῆά τε, καὶ Πολύδωρον··.
Il.23.638 οἵοισίν μ’ ἵπποισι παρήλασαν Ἀκτορίωνε,
Il.23.639 πλήθει πρόσθε βαλόντες., ἀγασσάμενοι περὶ νῑ́κης··,
Il.23.640 οὕνεκα δὴ τὰ μέγιστα παρ’ αὐτόφι λείπετ’ ἄεθλα··.
Il.23.641 οἳ δ’ ἄρ’ ἔσαν δίδυμοι··· ὃ μὲν ἔμπεδον ἡνιόχευεν.·,
Il.23.642 ἔμπεδον ἡνιόχευ’,·, ὃ δ’ ἄρα μάστῑγι κέλευεν··.

Il.23.643 ὥς ποτ’ ἔον··· νῦν αὖτε νεώτεροι ἀντιοώντων·
Il.23.644 ἔργων τοιούτων··· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
Il.23.645 πείθεσθαι,·, τότε δ’ αὖτε μετέπρεπον ἡρώεσσιν··.
Il.23.646 ἀλλ’ ἴθι καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε··.
Il.23.647 τοῦτο δ’ ἐγὼ πρόφρων δέχομαι,·, χαίρει δέ μοι ἦτορ,,,
Il.23.648 ὥς μευ, ἀεὶ μέμνησαι ἐνηέος·, οὐδέ σε λήθω,
Il.23.649 τῑμῆς. ἧς τέ, μ’, ἔοικε τετῑμῆσθαι μετ’ Ἀχαιοῖς··.
Il.23.650 σοὶ δὲ θεοὶ τῶνδ’ ἀντὶ. χάριν μενοεικέα δοῖεν··.
Il.23.651 ὣς φάτο,·, Πηλεΐδης δὲ πολὺν καθ’ ὅμῑλον Ἀχαιῶν
Il.23.652 ᾤχετ’., ἐπεὶ, πάντ’ αἶνον ἐπέκλυε, Νηλεΐδᾱο··.
Il.23.653 αὐτὰρ ὃ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα···
Il.23.654 ἡμίονον ταλαεργὸν ἄγων κατέδησ’ ἐν ἀγῶνι,
Il.23.655 ἑξέτε’. ἀδμήτην,·, ἥ τ’ ἀλγίστη δαμάσασθαι···
Il.23.656 τῷ δ’ ἄρα νῑκηθέντι, τίθει δέπας ἀμφικύπελλον··.
Il.23.657 στῆ δ’ ὀρθὸς. καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν···
Il.23.658 Ἀτρεΐδη τε καὶ ἄλλοι ἐϋκνήμῑδες Ἀχαιοὶ··
Il.23.659 ἄνδρε δύω περὶ τῶνδε κελεύομεν,., ὥ περ ἀρίστω,
Il.23.660 πὺξ. μάλ’ ἀνασχομένω πεπληγέμεν··· ᾧ δέ κ’ Ἀπόλλων
Il.23.661 δώῃ καμμονίην··, γνώωσι δὲ πάντες Ἀχαιοί·,,
Il.23.662 ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νεέσθω···
Il.23.663 αὐτὰρ ὃ., νῑκηθεὶς δέπας οἴσεται ἀμφικύπελλον··.
Il.23.664 ὣς ἔφατ’··, ὤρνυτο δ’ αὐτίκ’ ἀνὴρ ἠΰς τε μέγας τε
Il.23.665 εἰδὼς πυγμαχίης.· υἱὸς Πανοπῆος Ἐπειός··,
Il.23.666 ἅψατο δ’ ἡμιόνου ταλαεργοῦ. φώνησέν τε···
Il.23.667 ἆσσον ἴτω.. ὅς τις δέπας οἴσεται ἀμφικύπελλον···
Il.23.668 ἡμίονον δ’ οὔ φημί τιν’ ἀξέμεν ἄλλον Ἀχαιῶν
Il.23.669 πυγμῇ νῑκήσαντ’.., ἐπεὶ εὔχομαι εἶναι ἄριστος··.
Il.23.670 ἦ͜ οὐχ ἅλις ὅττι μάχης ἐπιδεύομαι··; οὐδ’ ἄρα πως ἦν
Il.23.671 ἐν πάντεσσ’ ἔργοισι δαήμονα φῶτα γενέσθαι··.
Il.23.672 ὧδε γὰρ ἐξερέω,·, τὸ δὲ καὶ τετελεσμένον ἔσται···
Il.23.673 ἀντικρῠ̀ χρόα τε ῥήξω·, σύν τ’ ὀστέ’ ἀράξω··.
Il.23.674 κηδεμόνες δέ οἱ ἐνθάδ’ ἀολλέες αὖθι μενόντων..,
Il.23.675 οἵ κέ μιν ἐξοίσουσιν ἐμῆς ὑπὸ χερσὶ δαμέντα··.
Il.23.676 ὣς ἔφαθ’.·, οἳ δ’ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ··.
Il.23.677 Εὐρύαλος δέ οἱ οἶος ἀνῑ́στατο ἰ̑σόθεος φὼς,·
Il.23.678 Μηκιστέως υ͜ἱὸς Ταλαῐ̈ονίδᾱο ἄνακτος.·,
Il.23.679 ὅς ποτε Θήβᾱσδ’ ἦλθε δεδουπότος Οἰδιπόδᾱο
Il.23.680 ἐς τάφον.·· ἔνθα δὲ πάντας ἐνῑ́κᾱ Καδμεΐωνας··.

Il.23.681 τὸν μὲν Τῡδεΐδης δουρικλυτὸς ἀμφεπονεῖτο
Il.23.682 θαρσῦνων ἔπεσιν.·, μέγα δ' αὐτῷ βούλετο νῑκην··.
Il.23.683 ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν··, αὐτὰρ ἔπειτα
Il.23.684 δῶκεν ἱμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο··.
Il.23.685 τὼ δὲ ζωσαμένω, βήτην ἐς μέσσον ἀγῶνα··,
Il.23.686 ἄντα δ' ἀνασχομένω, χερσὶ στιβαρῇσιν ἅμ' ἄμφω.
Il.23.687 σύν ῥ' ἔπεσον··, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν··.
Il.23.688 δεινὸς δὲ χρόμαδος γενύων γένετ'.·, ἔρρεε δ' ἱδρὼς
Il.23.689 πάντοθεν ἐκ μελέων.·· ἐπὶ δ' ὤρνυτο δῖος Ἐπειός··,
Il.23.690 κόψε δὲ παπτήναντα,· παρήϊον··· οὐδ' ἄρ' ἔτι δὴν
Il.23.691 ἑστήκειν··· αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα··.
Il.23.692 ὡς δ' ὅθ' ὑπὸ φρῑκὸς Βορέω ἀναπάλλεται ἰχθῦς
Il.23.693 θῑν' ἐν φῡκιόεντι··, μέλαν δέ ἑ κῦμ' ἐκάλυψεν·,,
Il.23.694 ὣς πληγεὶς ἀνέπαλτ'··· αὐτὰρ μεγάθῡμος Ἐπειὸς
Il.23.695 χερσὶ λαβὼν ὤρθωσε·· φίλοι δ' ἀμφέσταν ἑταῖροι,
Il.23.696 οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσιν.,
Il.23.697 αἷμα παχὺ πτῦοντα.· κάρη βάλλονθ' ἑτέρωσε···
Il.23.698 κὰδ δ' ἀλλοφρονέοντα. μετὰ σφίσιν εἷσαν ἄγοντες··,
Il.23.699 αὐτοὶ δ' οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον··.
Il.23.700 Πηλεΐδης δ' αἶψ' ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα.,
Il.23.701 δεικνύμενος Δαναοῖσι. παλαισμοσύνης ἀλεγεινῆς··,
Il.23.702 τῷ μὲν νῑκήσαντι. μέγαν τρίποδ' ἐμπυριβήτην··,
Il.23.703 τὸν δὲ, δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί···
Il.23.704 ἀνδρὶ δὲ νῑκηθέντι., γυναῖκ' ἐς μέσσον ἔθηκε··,
Il.23.705 πολλὰ δ' ἐπῑστατο ἔργα··, τίον δέ, ἑ, τεσσαράβοιον··.
Il.23.706 στῆ δ' ὀρθὸς,, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν···
Il.23.707 ὄρνυσθ',· οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον··.
Il.23.708 ὣς ἔφατ'··, ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴᾱς.·,
Il.23.709 ἂν δ' Ὀδυσεὺς πολύμητις ἀνῑστατο, κέρδεα εἰδώς··.
Il.23.710 ζωσαμένω δ' ἄρα τώ γε βάτην ἐς μέσσον ἀγῶνα··,
Il.23.711 ἀγκὰς δ' ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν·
Il.23.712 ὡς ὅτ' ἀμείβοντες,, τούς τε κλυτὸς ἤραρε τέκτων·
Il.23.713 δώματος ὑψηλοῖο,, βίᾱς ἀνέμων ἀλεείνων··.
Il.23.714 τετρῑγει δ' ἄρα νῶτα, θρασειᾱ́ων ἀπὸ χειρῶν
Il.23.715 ἑλκόμενα στερεῶς··· κατὰ δὲ νότιος ῥέεν ἱδρώς··,
Il.23.716 πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευρᾱ́ς τε καὶ ὤμους
Il.23.717 αἵματι φοινικόεσσαι ἀνέδραμον··· οἳ δὲ μάλ' αἰεὶ
Il.23.718 νίκης ῑ̔έσθην. τρίποδος πέρι ποιητοῖο···

Il.23.719 οὔτ’ Ὀδυσεὺς δύνατο σφῆλαι. οὔδει τε πελάσσαι·,
Il.23.720 οὔτ’ Αἴᾱς δύνατο.·, κρατερὴ δ’ ἔχεν ἶ̓ς Ὀδυσῆος··.
Il.23.721 ἀλλ’ ὅτε δή ῥ’ ἀνίαζον ἐϋκνήμῑδες Ἀχαιοί..,
Il.23.722 δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴᾱς···
Il.23.723 διογενὲς Λᾱερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ.·
Il.23.724 ἤ μ’ ἀνάειρ’.,, ἢ ἐγὼ σέ··· τὰ δ’ αὖ Διῒ πάντα μελήσει··.
Il.23.725 ὣς εἰπὼν,, ἀνάειρε··· δόλου δ’ οὐ λήθετ’ Ὀδυσσεύς···
Il.23.726 κόψ’ ὄπιθεν κώληπα τυχών,·, ὑπέλῡσε δὲ γυῖα··,
Il.23.727 κὰδ δ’ ἔβαλ’ ἐξοπίσω,·· ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς
Il.23.728 κάππεσε··· λᾱοὶ δ’ αὖ, θηεῦντό τε, θάμβησάν τε··.
Il.23.729 δεύτερος αὖτ’ ἀνάειρε πολύτλᾱς δῖος Ὀδυσσεύς··,
Il.23.730 κίνησεν δ’ ἄρα τυτθὸν ἀπὸ χθονός,·, οὐδέ τ’ ἄειρεν··,
Il.23.731 ἐν δὲ γόνυ γνάμψεν.·· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
Il.23.732 πλησίοι ἀλλήλοισι.., μιάνθησαν δὲ κονίῃ··.
Il.23.733 καί νύ κε τὸ τρίτον αὖτις ἀνᾱΐξαντ’ ἐπάλαιον.,,
Il.23.734 εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ κατέρῡκε···
Il.23.735 μηκέτ’ ἐρείδεσθον.·, μηδὲ τρίβεσθε κακοῖσι···
Il.23.736 νίκη δ’ ἀμφοτέροισιν··· ἀέθλια δ’ ἶσ’ ἀνελόντες
Il.23.737 ἔρχεσθ’·,, ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί··.
Il.23.738 ὣς ἔφαθ’.·, οἳ δ’ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ’ ἐπίθοντο.·,
Il.23.739 καί ῥ’ ἀπομορξαμένω κονίην, δῦσαντο χιτῶνας··.
Il.23.740 Πηλεΐδης δ’ αἶψ’ ἄλλα τίθει ταχυτῆτος ἄεθλα··
Il.23.741 ἀργύρεον κρητῆρα, τετυγμένον··· ἓξ δ’ ἄρα μέτρα
Il.23.742 χάνδανεν··, αὐτὰρ κάλλει ἐνίκᾱ πᾶσαν ἐπ’ αἶαν
Il.23.743 πολλόν,·, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν··,
Il.23.744 Φοίνῑκες δ’ ἄγον ἄνδρες ἐπ’ ἠεροειδέα πόντον··,
Il.23.745 στῆσαν δ’ ἐν λιμένεσσι.·, Θόαντι δὲ δῶρον ἔδωκαν···
Il.23.746 υἷος δὲ Πριάμοιο Λυκᾱ́ονος ὦνον ἔδωκε·
Il.23.747 Πατρόκλῳ ἥρωϊ Ἰησονίδης Εὔνηος··.
Il.23.748 καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἀέθλιον οὗ ἑτάροιο,,
Il.23.749 ὅς τις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο···
Il.23.750 δευτέρῳ αὖ βοῦν θῆκε· μέγαν, καὶ πίονα δημῷ··,
Il.23.751 ἡμιτάλαντον δὲ χρῡσοῦ λοισθήϊ’ ἔθηκε·.
Il.23.752 στῆ δ’ ὀρθὸς,, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν··
Il.23.753 ὄρνυσθ’,, οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε··.
Il.23.754 ὣς ἔφατ’.·, ὤρνυτο δ’ αὐτίκ’ Ὀϊλῆος ταχὺς Αἴᾱς··,
Il.23.755 ἂν δ’ Ὀδυσεὺς πολύμητις··, ἔπειτα δὲ Νέστορος υἱὸς
Il.23.756 Ἀντίλοχος··· ὃ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκᾱ··.

Il.23.757 στὰν δὲ μεταστοιχεί··· σήμηνε δὲ τέρματ᾽ Ἀχιλλεύς··.
Il.23.758 τοῖσι δ᾽ ἀπὸ νύσσης τέτατο δρόμος··· ὦκα δ᾽ ἔπειτα
Il.23.759 ἔκφερ᾽ Ὀϊλιάδης.·· ἐπὶ δ᾽ ὤρνυτο δῖος Ὀδυσσεὺς
Il.23.760 ἄγχι μάλ᾽,,, ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο
Il.23.761 στήθεός· ἐστι κανών.·, ὅν τ᾽ εὖ μάλα χερσὶ τανύσσῃ·
Il.23.762 πηνίον ἐξέλκουσα παρὲκ μίτον·,, ἀγχόθι δ᾽ ἴσχει
Il.23.763 στήθεος..· ὣς Ὀδυσεὺς θέεν ἐγγύθεν··, αὐτὰρ ὄπισθεν
Il.23.764 ἴχνια τύπτε πόδεσσι. πάρος κόνιν ἀμφιχυθῆναι···
Il.23.765 κὰδ δ᾽ ἄρα οἱ κεφαλῆς χέ᾽ ἀΰτμένα δῖος Ὀδυσσεὺς.
Il.23.766 αἰεὶ ῥίμφα θέων··· ἴαχον δ᾽ ἐπὶ πάντες Ἀχαιοὶ
Il.23.767 νίκης ἱεμένῳ··, μάλα δὲ σπεύδοντι κέλευον··.
Il.23.768 ἀλλ᾽ ὅτε δὴ πύματον τέλεον δρόμον.,, αὐτίκ᾽ Ὀδυσσεὺς
Il.23.769 εὔχετ᾽ Ἀθηναίῃ γλαυκώπιδι ὃν κατὰ θῡμόν···
Il.23.770 κλῦθι θεᾱ́.·, ἀγαθή μοι ἐπίρροθος ἐλθὲ ποδοῖϊν··.
Il.23.771 ὣς ἔφατ᾽ εὐχόμενος··· τοῦ δ᾽ ἔκλυε Παλλὰς Ἀθήνη··,
Il.23.772 γυῖα δ᾽ ἔθηκεν ἐλαφρά·, πόδας καὶ χεῖρας ὕπερθεν··.
Il.23.773 ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ἔμελλον ἐπᾱΐξασθαι ἄεθλον.,,
Il.23.774 ἔνθ᾽ Αἴᾱς μὲν ὄλισθε θέων,, βλάψεν γὰρ Ἀθήνη.,,
Il.23.775 τῇ ῥα βοῶν κέχυτ᾽ ὄνθος ἀποκταμένων ἐριμῡ́κων.·,
Il.23.776 οὓς ἐπὶ Πατρόκλῳ πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς···
Il.23.777 ἐν δ᾽ ὄνθου βοέου πλῆτο. στόμα τε ῥῖνάς τε···
Il.23.778 κρητῆρ᾽ αὖτ᾽ ἀνάειρε πολύτλᾱς δῖος Ὀδυσσεύς,,
Il.23.779 ὡς ἦλθε φθάμενος.·· ὃ δὲ βοῦν ἕλε φαίδιμος Αἴᾱς··.
Il.23.780 στῆ δὲ, κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο.
Il.23.781 ὄνθον ἀποπτῡ́ων.·, μετὰ δ᾽ Ἀργείοισιν ἔειπεν···
Il.23.782 ὢ πόποι·· ἦ μ᾽ ἔβλαψε θεᾱ̀ πόδας.·, ἣ τὸ πάρος περ
Il.23.783 μήτηρ ὣς,, Ὀδυσῆϊ παρίσταται ἠδ᾽ ἐπαρήγει··.
Il.23.784 ὣς ἔφαθ᾽,·, οἳ δ᾽ ἄρα πάντες ἐπ᾽ αὐτῷ ἡδὺ γέλασσαν··.
Il.23.785 Ἀντίλοχος δ᾽ ἄρα δὴ λοισθήϊον ἔκφερ᾽ ἄεθλον
Il.23.786 μειδιόων··, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν···
Il.23.787 εἰδόσιν ὔμμ᾽ ἐρέω πᾶσιν φίλοι,,, ὡς ἔτι καὶ νῦν
Il.23.788 ᾱ̓θάνατοι τῑμῶσι παλαιοτέρους ἀνθρώπους··.
Il.23.789 Αἴᾱς μὲν γὰρ ἐμεῖ᾽ ὀλίγον προγενέστερός ἐστιν··,
Il.23.790 οὗτος δὲ προτέρης γενεῆς, προτέρων τ᾽ ἀνθρώπων··
Il.23.791 ὠμογέροντα δέ μίν φᾱσ᾽ ἔμμεναι·· ἀργαλέον δὲ
Il.23.792 ποσσὶν ἐρῑδήσασθαι Ἀχαιοῖς,,, εἰ μὴ Ἀχιλλεῖ··.
Il.23.793 ὣς φάτο··, κῡ́δηνεν δὲ ποδώκεα Πηλεΐωνα··.
Il.23.794 τὸν δ᾽ Ἀχιλεὺς μῡ́θοισιν ἀμειβόμενος προσέειπεν···

Il.23.795 Ἀντίλοχ’,· οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος.·,
Il.23.796 ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρῡσοῦ ἐπιθήσω··.
Il.23.797 ὣς εἰπὼν,, ἐν χερσὶ τίθει.·, ὃ δ’ ἐδέξατο χαίρων··.
Il.23.798 αὐτὰρ Πηλεΐδης· κατὰ μὲν δολιχόσκιον ἔγχος
Il.23.799 θῆκ’ ἐς ἀγῶνα φέρων.·, κατὰ δ’ ἀσπίδα καὶ τρυφάλειαν.
Il.23.800 τεύχεα Σαρπήδοντος,., ἅ μιν Πάτροκλος ἀπηύρᾱ··.
Il.23.801 στῆ δ’ ὀρθὸς. καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν···
Il.23.802 ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω·,
Il.23.803 τεύχεα ἑσσαμένω. ταμεσίχροα χαλκὸν ἑλόντε·,
Il.23.804 ἀλλήλων προπάροιθεν ὁμῑ́λου πειρηθῆναι·.
Il.23.805 ὁππότερός κε φθῇσιν ὀρεξάμενος χρόα κᾱλόν.·,
Il.23.806 ψαύσῃ δ’ ἐνδῑ́νων διά τ’ ἔντεα καὶ μέλαν αἷμα.,,
Il.23.807 τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον, ἀργυρόηλον.
Il.23.808 κᾱλὸν. Θρηΐ̈κιον.·, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων···
Il.23.809 τεύχεα δ’ ἀμφότεροι ξῡνήϊα ταῦτα φερέσθων···
Il.23.810 καί σφιν δαῖτ’ ἀγαθὴν παραθήσομεν ἐν κλισίῃσιν··.
Il.23.811 ὣς ἔφατ’··, ὦρτο δ’ ἔπειτα μέγας Τελαμώνιος Αἴᾱς··,
Il.23.812 ἂν δ’ ἄρα Τῡδεΐδης ὦρτο,, κρατερὸς Διομήδης··.
Il.23.813 οἳ δ’ ἐπεὶ οὖν ἑκάτερθεν ὁμῑ́λου θωρήχθησαν.,,
Il.23.814 ἐς μέσον ἀμφοτέρω συνίτην, μεμαῶτε μάχεσθαι··
Il.23.815 δεινὸν δερκομένω·· θάμβος δ’ ἔχε πάντας Ἀχαιούς··.
Il.23.816 ἀλλ’ ὅτε δὴ σχεδὸν ἦσαν· ἐπ’ ἀλλήλοισιν ἰόντες.,,
Il.23.817 τρὶς μὲν ἐπήϊξαν,·, τρὶς δὲ σχεδὸν ὡρμήθησαν··.
Il.23.818 ἔνθ’ Αἴᾱς μὲν ἔπειτα κατ’ ἀσπίδα πάντοσ’ ἐΐ̈σην
Il.23.819 νύξ’,·, οὐδὲ χρό’ ἵκᾱνεν.·· ἔρῡτο γὰρ ἔνδοθι θώρηξ.··
Il.23.820 Τῡδεΐδης δ’ ἄρ’ ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο
Il.23.821 αἰὲν ἐπ’ αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ··.
Il.23.822 καὶ τότε δή ῥ’ Αἴαντι περιδδείσαντες Ἀχαιοὶ.,
Il.23.823 παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ’ ἀνελέσθαι.·.
Il.23.824 αὐτὰρ Τῡδεΐδῃ δῶκεν μέγα φάσγανον ἥρως·
Il.23.825 σὺν κολεῷ τε φέρων, καὶ ἐϋτμήτῳ τελαμῶνι··.
Il.23.826 αὐτὰρ Πηλεΐδης θῆκεν σόλον αὐτοχόωνον··
Il.23.827 ὃν πρὶν μὲν ῥίπτασκε μέγα σθένος Ἠετίωνος···
Il.23.828 ἀλλ’ ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεύς.·,
Il.23.829 τὸν δ’ ἄγετ’ ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι··.
Il.23.830 στῆ δ’ ὀρθὸς. καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν···
Il.23.831 ὄρνυσθ’,· οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.·.
Il.23.832 εἴ, οἱ, καὶ μάλα πολλὸν ἀπόπροθι πῑ́ονες ἀγροί.,,

Il.23.833 ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
Il.23.834 χρεώμενος··· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
Il.23.835 ποιμὴν· οὐδ᾽ ἀροτὴρ εἶσ᾽ ἐς πόλιν·,, ἀλλὰ παρέξει··.
Il.23.836 ὣς ἔφατ᾽.·, ὦρτο δ᾽ ἔπειτα μενεπτόλεμος Πολυποίτης··,
Il.23.837 ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο··,
Il.23.838 ἂν δ᾽ Αἴᾱς Τελαμωνιάδης. καὶ δῖος Ἐπειός··.
Il.23.839 ἑξείης δ᾽ ἵσταντο.,, σόλον δ᾽ ἕλε δῖος Ἐπειός.·,
Il.23.840 ἧκε δὲ δῑνήσᾱς··· γέλασαν δ᾽ ἐπὶ πάντες Ἀχαιοί··.
Il.23.841 δεύτερος αὖτ᾽ ἀφέηκε Λεοντεὺς ὄζος Ἄρηος···
Il.23.842 τὸ τρίτον αὖτ᾽ ἔρριψε μέγας Τελαμώνιος Αἴᾱς
Il.23.843 χειρὸς ἄπο στιβαρῆς.., καὶ ὑπέρβαλε σήματα πάντων··.
Il.23.844 ἀλλ᾽ ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης.,,
Il.23.845 ὅσσόν τίς τ᾽ ἔρριψε καλαύροπα βουκόλος ἀνήρ.·,
Il.23.846 ἣ δέ θ᾽ ἑλισσομένη πέτεται διὰ βοῦς. ἀγελαίᾱς.,,
Il.23.847 τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε··· τοὶ δ᾽ ἐβόησαν··.
Il.23.848 ἀνστάντες δ᾽ ἕταροι Πολυποίτᾱο κρατεροῖο.,
Il.23.849 νῆας ἔπι γλαφυρᾶς ἔφερον βασιλῆος ἄεθλον··.
Il.23.850 αὐτὰρ ὃ, τοξευτῇσι τίθει, ἰόεντα σίδηρον··,
Il.23.851 κὰδ δ᾽ ἐτίθει δέκα μὲν πελέκεας.·, δέκα δ᾽ ἡμιπέλεκκα··,
Il.23.852 ἱστὸν δ᾽ ἔστησεν νηὸς κυανοπρῴροιο
Il.23.853 τηλοῦ ἐπὶ ψαμάθοις··, ἐκ δὲ τρήρωνα πέλειαν.
Il.23.854 λεπτῇ μηρίνθῳ δῆσεν ποδός.·, ἧς ἄρ᾽ ἀνώγει
Il.23.855 τοξεύειν··· ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν.,,
Il.23.856 πάντας ἀειράμενος πελέκεας οἶκόνδε φερέσθω···
Il.23.857 ὃς δέ κε μηρίνθοιο τύχῃ·, ὄρνῑθος ἁμαρτών.,
Il.23.858 ἥσσων γὰρ δὴ κεῖνος.,, ὃ δ᾽ οἴσεται ἡμιπέλεκκα·.
Il.23.859 ὣς ἔφατ᾽.·, ὦρτο δ᾽ ἔπειτα βίη Τεύκροιο ἄνακτος··,
Il.23.860 ἂν δ᾽ ἄρα Μηριόνης. θεράπων ἐῢς, Ἰδομενῆος··.
Il.23.861 κλήρους δ᾽ ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες··,
Il.23.862 Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν··· αὐτίκα δ᾽ ἰὸν
Il.23.863 ἧκεν ἐπικρατέως··, οὐδ᾽ ἠπείλησεν ἄνακτι·
Il.23.864 ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην··.
Il.23.865 ὄρνῑθος μὲν ἅμαρτε,·· μέγηρε γάρ, οἱ, τό γ᾽ Ἀπόλλων···
Il.23.866 αὐτὰρ ὃ μήρινθον βάλε πὰρ πόδα·, τῇ δέδετ᾽ ὄρνῑς··
Il.23.867 ἀντικρὺ δ᾽ ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός··.
Il.23.868 ἣ μὲν ἔπειτ᾽ ἤϊξε πρὸς οὐρανόν.., ἣ δὲ παρείθη
Il.23.869 μήρινθος ποτὶ γαῖαν··· ἀτὰρ κελάδησαν Ἀχαιοί··.
Il.23.870 σπερχόμενος δ᾽ ἄρα Μηριόνης· ἐξείρυσε χειρὸς

Il.23.871 τόξον··· ἀτὰρ δὴ ὀϊστὸν ἔχεν πάλαι.,, ὡς ἴθῡνεν··.
Il.23.872 αὐτίκα δ᾽ ἠπείλησεν ἑκηβόλῳ Ἀ̱πόλλωνι
Il.23.873 ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην··.
Il.23.874 ὕψι δ᾽ ὑπαὶ νεφέων εἶδε τρήρωνα πέλειαν···
Il.23.875 τῇ ῥ᾽ ὅ γε δῑνεύουσαν ὑπὸ πτέρυγος βάλε μέσσην··,
Il.23.876 ἀντικρῠ̱ δὲ διῆλθε βέλος··· τὸ μὲν, ἂψ, ἐπὶ γαίῃ
Il.23.877 πρόσθεν Μηριόνᾱο πάγη ποδός··· αὐτὰρ ἣ ὄρνῑς
Il.23.878 ἱστῷ ἐφεζομένη νηὸς κυανοπρῴροιο.,
Il.23.879 αὐχέν᾽ ἀπεκρέμασεν··, σὺν δὲ πτερὰ πυκνὰ λίασθεν··.
Il.23.880 ὠκὺς δ᾽ ἐκ μελέων θῡμὸς πτάτο··, τῆλε δ᾽ ἀπ᾽ αὐτοῦ
Il.23.881 κάππεσε··· λᾱοὶ δ᾽ αὖ θηεῦντό τε θάμβησάν τε··.
Il.23.882 ἂν δ᾽ ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρε·,
Il.23.883 Τεῦκρος δ᾽ ἡμιπέλεκκα φέρεν κοίλᾱς ἐπὶ νῆας··.
Il.23.884 αὐτὰρ Πηλεΐδης. κατὰ μὲν δολιχόσκιον ἔγχος.,
Il.23.885 κὰδ δὲ λέβητ᾽ ἄπυρον. βοὸς ἄξιον ἀνθεμόεντα..
Il.23.886 θῆκ᾽ ἐς ἀγῶνα φέρων··· καί ῥ᾽ ἥμονες ἄνδρες ἀνέσταν··
Il.23.887 ἂν μὲν ἄρ᾽ Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων··,
Il.23.888 ἂν δ᾽ ἄρα Μηριόνης,, θεράπων ἐΰς, Ἰ̄δομενῆος··.
Il.23.889 τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς···
Il.23.890 Ἀτρεΐδη··· ἴδμεν γὰρ ὅσον προβέβηκας ἁπάντων··
Il.23.891 ἠδ᾽ ὅσσον δυνάμει τε καὶ ἥμασιν, ἔπλευ ἄριστος.··
Il.23.892 ἀλλὰ σὺ μὲν τόδ᾽ ἄεθλον ἔχων. κοίλᾱς ἐπὶ νῆας
Il.23.893 ἔρχευ··, ἀτὰρ δόρυ Μηριόνῃ ἥρωϊ πόρωμεν,,
Il.23.894 εἰ σύ γε σῷ θῡμῷ ἐθέλοις··· κέλομαι γὰρ ἔγωγε··.
Il.23.895 ὣς ἔφατ᾽.·, οὐδ᾽ ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων···
Il.23.896 δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον··· αὐτὰρ ὅ γ᾽ ἥρως
Il.23.897 Ταλθυβίῳ κήρῡκι δίδου περικαλλὲς ἄεθλον·:.